## CXXI. Sine anno et mense.

*Silvester, patriarcha Alexandriae, exhortatur clerum et habitatores insulae Patmi ad vitam religiosam.*

† Σίλβεστρος, ἐλέῳ θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ κριτὴς τῆς οἰκουμένης. †

† Τοῖς εὐλαβεστάτοις ἱερεῦσι καὶ τιμίοις ἄρχουσι ἐν τῇ Πάτμῳ νήσῳ σὺν παντὶ τῷ εὐσεβεῖ καὶ χριστωνύμῳ λαῷ μετὰ γυναικῶν καὶ τέκνων, κατὰ πνεῦμα ἀγαπητοῖς [τέκνοις] τῆς ἡμῶν μετριότητος, χάρις, ἔλεος, εἰρήνη, ἁγιασμὸς καὶ σωτηρία παρὰ θεοῦ παντοκράτορος. ἠκούσαμεν, ὅτι ἀφοῦ ἡμεῖς ἐξήλθομεν αὐτόθι, συμφορὰ καὶ νόσος πειράζει κατ' ἔτος τὸν τόπον αὐτὸν καὶ τὸ κάστρον καὶ τὸ ἅγιον μοναστήριον καὶ λίαν ἐλυπήθημεν (κύριος οἶδε), διότι γινώσκομεν βεβαίως, ὅτι ταῦτα καὶ τὰ τοιαῦτα γίνονται κατὰ παραχώρησιν θεοῦ διὰ τὰς ἁμαρτίας ἡμῶν, διὰ τὰς ὁποίας παιδεύει ἡμᾶς ὁ ἀγαθὸς θεός, ἵνα ἐπιστρέψωμεν καὶ ἰάσηται ἡμᾶς. βλέπετε οὖν, μήπως καταφρονήσαντες τὰς ἡμῶν παραγγελίας καὶ τὰ προστάγματα εἰς ταῦτα περιεπέσατε τὰ κακά· ἐγὼ γὰρ παρήγγειλα ὑμῖν, ἵνα τηρεῖτε τὰς ἐντολὰς τοῦ θεοῦ, καθὼς πρέπει χριστιανοῖς καὶ οἱ θεῖοι νόμοι διακελεύουσι καὶ μή πως καὶ ἀστοχήσατε, οὐκ οἶδα, εἴρηκα ὑμῖν, ἵνα φυλάττετε τὰς τεσσαρακοστὰς τοῦ ὅλου χρόνου, δι' ἃς ἁγιάζεται πᾶσα ἡμῶν ἡ ζωή, καὶ τὰς τετράδας καὶ παρακευὰς ὁμοίως ἐκτὸς τῶν δεσποτικῶν ἑορτῶν καὶ [τῶν] πάνυ μεγάλων ἁγίων καὶ σχολάζετε τὰς ἑορτὰς καὶ τὰς κυριακὰς ἀπερχόμενοι εἰς τὰς ἐκκλησίας πρὸς τὸ ὑμνεῖν καὶ δοξολογεῖν τὸν κύριον μετὰ καθαροῦ συνειδότος, ἵνα ὥσπερ τὸ σῶμα τρέφεται ἄρτῳ καὶ αἰσθητοῖς βρώμασιν, οὕτω καὶ ἡ ψυχὴ ἡμῶν ἀκροώμενοι τῶν θείων γραφῶν τραφήσεται νοητῶς θείῳ λόγῳ καὶ πνεύματος χάριτι. καὶ ἵνα μηδεὶς ἀναξίως καὶ ὀνειδιζόμενος ὑπὸ τῆς ἰδίας συνειδήσεως προσέλθοι τῶν θείων μυστηρίων χωρὶς καθαρᾶς ἐξομολογήσεως καὶ πνευματικῆς διορθώσεως, διότι «ὁ τρώγων καὶ πίνων ἀναξίως κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει» μὴ διακρίνων τὸ σῶμα τοῦ κυρίου. «διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι καὶ κοιμῶνται ἱκανοί» φησὶν ὁ θεῖος ἀπόστολος. εἰς τοῦτο δὲ συμβαίνουσι νόσοι τε καὶ πάθη καὶ θάνατοι διὰ τοῦ ἀναξίως προσέρχεσθαι τῇ θείᾳ μεταλήψει τοῦ δεσποτικοῦ σώματος, δηλονότι παραβαίνοντες τὰς ἐντολάς, ὡς προειρήκαμεν, ὅτι ἐπειδὴ τὸν Χριστὸν ἐνεδύσω διὰ τοῦ βαπτίσματος, ὦ χριστιανέ, φησὶν ὁ θεῖος Χρυσόστομος, ἀσφαλίζου, μὴ τὴν βασιλικὴν πορφύραν σήψῃς, μὴ τὸν ἄσπιλον χιτῶνα σπιλώσῃς, μὴ πορνείᾳ τὸ ἱμάτιον ἀσβολώσῃς, μὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ι.Α. 05 Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μοιχείᾳ τὸ ἔνδυμα βορβορώσῃς καὶ ἀκούσῃς ἐκεῖ παρὰ τοῦ νυμφίου Χριστοῦ τοιαύτης φωνῆς· «ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχοντα ἔνδυμα γάμου». μὴ ἐπιορκίᾳ φθείρῃς, μὴ βλασφημίᾳ μιάνῃς, ἀλλὰ πρόσεχε σεαυτὸν καὶ ἀσφαλίζου τὸ τῆς ψυχῆς σου κιβώτιον, τὸ σῶμα, καὶ καλῶς τήρει τοῦ βαπτίσματος τὸ ἱμάτιον, μύρισον αὐτό, θυμίασον, βάλλε προσευχῶν θυμιάματα, πλῦνε αὐτὸ δικαιοσύνῃ, ἀγάπῃ, ἀληθείᾳ, ἐλεημοσύνῃ, μετανοίᾳ, ἐξομολόγησον καὶ ἐν δάκρυσι, ἔπειτα λέγε τῷ θεῷ· κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου. συνεχῶς οὖν τὸ ἱμάτιον τοῦ βαπτίσματος ταῖς προσευχαῖς καὶ ταῖς γονυκλισίαις τίνασσε καὶ ταῖς νηστείαις καλλώπιζε, ἵνα μὴ οἱ σκώληκες τῶν φαύλων καὶ πονηρῶν λογισμῶν τοῦτο διαφθείρωσιν. οἴδασιν, ἀγαπητοί, οἱ παραθέμενοι ἄγγελοι, ὁποῖον ὑμῶν τὸν χιτῶνα παρέθεντο, εἰς τὰ ἄνω βασιλικὰ βραβεῖα ἔγραψαν, ὁποῖον ἐδόθη ἱμάτιον, αὐτοὶ ἔρχονται ζητῆσαι αὐτὸ ἀπὸ τῆς ψυχῆς ὑμῶν, καί, ἐὰν μὴ εὕρωσιν ἄσπιλον, τί ποιήσετε; οὐκ ἔτι κολυμβήθραν εὑρήσητε, οὐχ ἱερέα. ἐκεῖ ποταμὸς πυρὸς ἐστίν, Ἰορδάνης οὐκ ἔστιν. ἐρωτήσατε τοὺς ὧδε τοῦ ἐπιγείου βασιλέως ἱματιοφύλακας καὶ μάθετε, πῶς ἀναγράφονται τοὺς βασιλικὰς καὶ διαλίθα ἱμάτια κατέχοντας, πῶς τοὺς ἐπικειμένους τῷ ἱματίῳ μαργαρίτας ἀριθμῷ παραδιδόασι καὶ παραλαμβάνουσι, πῶς τοιαῦτα ἀπαιτοῦσιν, οἷα καὶ δεδώκασιν, εἰ δὲ καί που εἷς μαργαρίτης ἐκπεσὼν ἀπολεῖται, μετὰ πάσης ζημίας καὶ θλίψεως τὸ ἀπολλώμενον ἀντικαθίσταται. πολλῷ μᾶλλον ἡμεῖς, ἀδελφοί, οὐρανίου καὶ ἀφθάρτου βασιλέως ἱμάτιον περιβεβλημένοι τοῦ ἁγίου βαπτίσματος, ἐὰν μολύνωμεν καὶ καταρρυπώσωμεν αὐτὸ [διὰ] πράξεις πονηράς, λέγω δὲ διὰ πορνείας, μοιχείας ἀρρενομανείας, μαλακίας, μέθης, πλεονεξίας, φιλαργυρίας, ἀσπλαγχνίας, κενοδοξίας, ὑπερηφανίας, γαστριμαργίας, φθόνου, μίσους, μνησικακίας καὶ ὀργῆς, δι' ἃς χωρίζεται τὸ πρόσωπον τοῦ θεοῦ ὁ τοιαῦτας πράσσων, ἐὰν μὴ γνησίως μετανοήσῃ διὰ πολλῶν δακρύων καὶ στεναγμῶν, ὅτι οὕτως βοᾷ καὶ ὁ θεῖος ἀπόστολος· «μὴ πλανᾶσθε· οὔτε πόρνοι οὔτε μοιχοὶ οὔτε μαλακοί, οὐ λοίδοροι, οὐχ ἅρπαγες, οὐ μέθυσοι βασιλείαν θεοῦ κληρονομήσουσι». καὶ αὖθις· «πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεός», φησὶν ὁ αὐτὸς θεῖος ἀπόστολος. τί ἀπολογίαν λοιπὸν δώσωμεν τῷ θεῷ, ἐὰν ἐκ τῶν παθῶν τούτων ὑπὸ ἑνὸς μόνου εὑρεθῶμεν δεδουλωμένοι, ἢ ποῖος ἔχει βοηθῆσαι ἡμῖν ἐπὶ τοῖς πλημμελήμασι τούτοις ἐν τῇ ὥρᾳ τῆς ἐξόδου; ὄντως οὐδείς, ἀλλ' ἐν ᾧ εὑρεθῇ ἕκαστος, οὕτως καὶ κριθήσεται καὶ κατὰ τὰ ἔργα αὐτοῦ ἢ δοξασθήσεται ἢ αἰσχυνθήσεται. ταῦτα γράφω ὑμῖν, τεκνία μου, οὐχ ὅτι ἐσφάλατέ τι τῶν τοιούτων πλημμελημάτων, ἀλλ' ἵνα μὴ ἀπὸ τοῦ νῦν περιπέσητε τούτοις, δι' ὧν ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς ἀπειθεῖς. διό, παρακαλῶ, ἀπέχεσθε ἀπὸ παντὸς κακοῦ, ἀπὸ ζήλου, ἀπὸ συκο-

ραντίας καὶ καταλαλιᾶς, ἀπὸ εὐτραπελείας καὶ γέλωτος καὶ ἀπὸ πολυλογίας καὶ ἀργολογίας, καὶ ἄσεμνα σχήματα καὶ διανεύματα πονηρὰ καὶ τὰ τούτοις ὅμοια [μὴ πράττετε], ἅπερ μισεῖ ὁ θεὸς καὶ χαίρεται ὁ ἐχθρός. «φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί», φησὶν ὁ θεῖος ἀπόστολος, καὶ ἔχετε λοιπὸν ταπείνωσιν θάττερος θαττέρου, πραότητα, χρηστότητα, μακροθυμίαν, εἰρήνην, φιλοπτωχείαν, εὐσπλαγχνίαν καὶ ὃ ὑμεῖς μισεῖτε, ἑτέρῳ μὴ ποιήσετε, ἅπερ ζητεῖ ὁ θεὸς ἀφ' ἡμῶν καὶ οὕτως ἐστὲ [καθαρ]οὶ καὶ ἅγιοι, καθὼς εἶπεν ὁ Χριστός· «γίνεσθε ἅγιοι, ὅτι κἀγὼ ἅγιός εἰμι». ὁμοίως καὶ τὰ τέκνα ὑμῶν νουθετεῖτε αὐτὰ καλῶς καὶ ἑρμηνεύετε καὶ παραγγέλλετε, ἵνα ἐξ ἁπαλῶν ὀνύχων λαβόντες τὰς ἀρετὰς καὶ βάλλουσιν τὸν φόβον τοῦ θεοῦ εἰς τὰς καρδίας αὐτῶν καὶ πολιτεύονται βίον καθαρὸν ἐργαζόμενοι τὰς ἐντολὰς τοῦ θεοῦ εἰς πᾶν ἔργον ἀγαθὸν ἀπεχόμενοι ἀπὸ πᾶσαν ῥυπαρὰν πρᾶξιν, τηροῦντες τὸ ἱμάτιον τοῦ βαπτίσματος, ὡς ἄνωθεν γέγραπται. καὶ ταῦτα μὲν οὕτως. περὶ δὲ τοῦ ἁγίου μοναστηρίου τὰς ὑποθέσεις, ἃς παρεκινήθησαν θεοῦ συνεργοῦντος, ὅπως γένηται κοινόβιον, καὶ ταῦτα μὲν ὁ παναγιώτατος καὶ οἰκουμενικὸς πατριάρχης Κωνσταντινουπόλεως, κύριος Ἱερεμίας, καὶ ποθεινότατος ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς διὰ γράμματος ἀποφαίνεται μετὰ ἀλύτου ἀφορισμοῦ, ἵνα γένηται κοινόβιον, τὸ αὐτὸ καὶ ἡ μετριότης ἡμῶν ἀποφαίνεται ἐν ἁγίῳ πνεύματι γενέσθαι καὶ μὴ ἄλλως εἰς βάρος ἀφορισμοῦ, διό, ὡς γράφομεν καὶ ἀποφαινόμεθα, οὕτως καὶ ὑμεῖς ἀναγκάσετε καὶ συνδράμετε μετὰ πραότητος καὶ στοργῆς, μὲ οἷον τρόπον οἴδατε ἐκτὸς παρατηρήσεώς τινος καὶ ἀντιλογίας [ἵνα] γένηται τὸ κοινόβιον. ἔπειτα μὲν ὀφείλετε σώζειν καὶ πληρεῖν πᾶσαν τὴν πρέπουσαν τιμὴν καὶ τάξιν καὶ ὑπακοὴν εἰς τὸ ἅγιον μοναστήριον, ὡς ἀνέκαθεν τοῦ ὁσίου Χριστοδούλου καὶ ἐπολιτεύετο, τὸν μὲν καθηγούμενον τιμᾶτε καὶ σέβεσθε, ὡς αὐτὸν τὸν δεσπότην Χριστόν· καὶ γὰρ εἰς τόπον Χριστοῦ ἀναφέρεται ὁ προεστώς, καθὼς σημαίνει ὁ τύπος, τοὺς δὲ ἱερομονάχους καὶ γέροντας χρὴ εὐλαβεῖσθαι καὶ ἀγαπᾶν ὡς ἀποστόλους Χριστοῦ. καὶ οὕτως προσήκει καὶ τοὺς λοιποὺς μοναχοὺς ἀπονέμειν πᾶσαν ἀγάπην ἀληθινὴν διὰ τοῦ σχήματος τοῦ ἁγίου, ὡσαύτως καὶ αὐτὸς πρὸς ὑμᾶς τὴν κατὰ θεὸν φιλίαν καὶ στοργὴν ἔχειν, ὡς πνευματικὰ τέκνα. καὶ αὖθις εἰς τοῦτο προσεκτέον καὶ πάσῃ φυλακῇ τηρητέον, ἵνα μήποτε γένηται παρ' ὑμῶν φατρία ἢ συνωμοσία κατὰ τοῦ ἡγουμένου ἢ εἰς ἕτερον πρόσωπον ἔνδον τοῦ μοναστηρίου δι' αἰτίαν τινά, ἀλλὰ μετ' εὐμενείας καὶ πραότητος διορθούσθω τὰ πράγματα, ἅπερ πολλάκις παρα-[κιν]οῦνται ὑπὸ φθόνου τοῦ μισοκάλου. καὶ οὕτως ἔδει ποιεῖν, ἵνα ἡ εὐλογία καὶ ἡ εὐχὴ τῶν πατέρων ἔσται περιτείχισμα ὑμῶν εἰς σωτηρίαν καὶ αὐξησιν καὶ ἄφατον εὐφροσύνην πνευματικήν. σὺ δέ, τιμιώτατε ἄρχων κῦρ Διακοιωάννου, υἱὲ

κατὰ πνεῦμα ἀγαπητὲ τῆς ἡμῶν μετριότητος, φρόντισον γενέσθαι τὸ γυναικεῖον μοναστήριον, εἰ δυνατόν ἐστι, καὶ κοινόβιον κατάταξον καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς καὶ παρ' ἡμῶν εὐχὴν καὶ εὐλογίαν καὶ ἀντιμισθίαν μεγίστην παρὰ θεοῦ ἐν τῷδε τῷ βίῳ καὶ εἰς τὸν μέλλοντα αἰῶνα. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθομεν, ἵν', ὡς προέφημεν, νὰ ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐνετείλατο κύριος τοῖς ἀποστόλοις, οὕτως κἀγὼ πρὸς ὑμᾶς ὡς τέκνα ὑπακοῆς γράφω τηρεῖν τὰς ἐντολὰς τοῦ θεοῦ καὶ οὐ παύομαι, ἵνα μὴ σὺν τῷ ὀκνηρῷ δούλῳ ἐκείνῳ κατακριθῶ τοῦ κρύψαντος τὸ τάλαντον τοῦ δεσπότου. καὶ εἰ μὲν ἀκούσητε, ἀγαπητοί, τοὺς λόγους μου, ἕτοιμοι ἐστὲ διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, καθὼς τὸ πνεῦμα τὸ ἅγιον εἴρηκε διὰ τοῦ προφήτου· «τάδε λέγει κύριος, ἐὰν θέλητε καὶ εἰσακούσεταί μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε, ἐὰν δὲ μὴ θέλητε μηδὲ εἰσακούσεταί μου, μάχαιρα ὑμᾶς κατέδεσθαι» τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα. εἰ δέ τις καὶ παρήκοος φανῇ, αὐτὸς ὄψεται κατὰ τὸ κυριακὸν λόγιον καὶ ἡμᾶς ἀναιτίους ποιήσει· «ἦλθα γὰρ καὶ ἐλάλησα, ἁμαρτίαν οὐκ εἶχον». νῦν δὲ πρόφασιν οὐκ ἔχετε περὶ τῶν λόγων τούτων· οὐκ ἔστι γὰρ ἐμοὶ ταῦτα, ἀλλὰ τῆς θείας γραφῆς, ὡς ἄνωθεν εἴπομεν διὰ πολλῶν μαρτύρων. οὐκοῦν ἄπρεπόν ἐστιν ὑμᾶς μήτε τὸ καλὸν ἀφ' ἑαυτῶν ποιεῖν μήτε ὑπακούειν τοῖς συμβουλεύουσι τὸ ἀγαθὸν καὶ τὴν σωτηρίαν ὑμῶν. διό, ἀγαπητοί, μὴ δότε πρόνοιαν τῆς σαρκός, μὴ καλλωπίσετε τὸν ἔξω ἄνθρωπον διὰ πολλῶν ἐνδυμάτων συρικῶν τε καὶ βυσσίνων καὶ βρωμάτων καὶ πομάτων πολυτελῶν καὶ τὸν ἔσω βορβορώσητε ἁμαρτίας, φροντίδες καὶ μελέται τοῦ ματαίου κόσμου, ἀλλὰ τοῦτο ἔδει ποιῆσαι, ὅσον τὰ πρὸς τὴν χρείαν τοῦ σώματος, κἀκεῖνο μὴ ἀφιέναι, ὅσον ὀφείλετε διὰ τὴν σωτηρίαν ὑμῶν, ἵνα τὸ περίσσευμα ὑμῶν, ὡς ἔφη ὁ θεῖος ἀπόστολος, ἀπόδοτε εἰς τῶν ἐπτωχῶν τὸ ὑστέρημα· τοῦτο γάρ ἐστιν ἀληθοῖς χριστιανοῖς, διότι ὡς ἐγεννήθημεν γυμνοί, οὕτως πρὸς τὸν φοβερὸν δικαστὴν πορευόμεθα, καὶ ἐὰν πάντας τοὺς θησαυροὺς συνάξωμεν ὧδε· ἐκεῖ γὰρ γυμνοί, ἐλεεινοί, σκυθρωποί, σκοτεινοί, συντετριμμένοι, τεταπεινωμένοι, τετραχηλισμένοι, ἐν φόβῳ, ἐν τρόμῳ, κατηφεῖς, ὀδυνηροί, εἰς γῆν τὸ πρόσωπον ἐρριμμένον καὶ τοῦτο μετ' ἐντροπῆς καλύπτοντες, οὕτως πορευόμεθα, οὕτως ἀνιστάμεθα καὶ οὕτως παριστάμεθα εἰς ἐκεῖνο τὸ μέγα, εἰς ἐκεῖνο τὸ φρικτόν, τὸ ἀπροσωπόληπτον, τὸ ἀδωροδόκητον, τὸ ἀκατάληπτον δικαστήριον καὶ κριτήριον καὶ κολαστήριον, ὅπου ἄγγελοι τρέμουσιν, ὅπου οἱ θρόνοι οἱ φοβεροὶ τίθενται, ὅπου αἱ βίβλοι τῶν πράξεων ἡμῶν ἀνοίγονται καὶ τὰ κρυπτὰ τῶν ἀνθρώπων δημοσιεύονται καὶ φανεροῦνται. καὶ μακάριοι τότε οἱ καλῶς πράξαντες καὶ ὧδε μετανοήσαντες, οἱ τῶν ἁμαρτιῶν τὸν φόρτον ἀπορρίψαντες διὰ μετανοίας κἀκεῖ ἐλεύθεροι ἔτυχον, ἄθλιοι δὲ καὶ ταλαίπωροι τότε οἱ ἀμετανόητο

καὶ ἀνεξομολόγητοι οἱ ἀπ᾽ ἐντεῦθεν ἀποδημήσαντες εἰς τὸν φοβερὸν κριτὴν δεδεμένοι σειραῖς ἁμαρτημάτων, ὅπου ἐκεῖ ἀσίγητοι στεναγμοί, ἀπαραμύθητον πένθος, ἐκεῖ τέλος οὐκ ἔστιν, ἀλλὰ θρῆνος, ὅπου οὐκ ἔστιν τρυφή, ἀλλὰ κρίσις, μέγας φόβος τότε, ἀδελφοί, μέγας τρόμος, μεγάλη ἡ γενομένη ἀνάγκη· ἡ γῆ πᾶσα σαλεύεται, τὰ μνήματα ἀνοίγονται, τὰ κριτήρια εὐτρεπίζονται, πολὺς ὁ φόβος, ἀδιήγητος ὁ τρόμος. καὶ ἵνα μὴ ὡς ἁπλῶς ἡγεῖσθε τὰ ῥήματα, ἀκούσωμεν, ἀγαπητοί, τοῦ Δανιὴλ λέγοντος· «ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, ἕως οὗ θρόνοι ἐτέθησαν καὶ παλαιὸς ἡμερῶν ἐκάθισεν. ὁ θρόνος αὐτοῦ φλόγα πυρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον, ποταμὸς πυρὸς ἔτρεχεν ἔμπροσθεν αὐτοῦ, χίλιαι χιλιάδες παρεστήκησαν αὐτῷ καὶ μύριαι μυριάδες ἐλειτούργουν αὐτῷ, κριτήριον ἐκάθισε καὶ βίβλοι ἠνεώχθησαν· ἔφριξεν τὸ πνεῦμα μου, ἐγὼ Δανιὴλ ἰδὼν καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάραξάν με, βαβαί». ὁ προφήτης τὸ ὅραμα τῆς μελλούσης κρίσεως ἰδὼν ἔφριξεν. καὶ τί ἄρα ἡμεῖς μέλλομεν ὑπομένειν, ὅταν καὶ αὐτὰ τὰ πράγματα εἰσέλθωμεν, ὅταν ἀπ᾽ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν παριστάμεθα γυμνοὶ καὶ τὸ φορτίον τῶν ἁμαρτημάτων ἐπὶ τοῦ τραχήλου πᾶσι δείκνυντες; τότε τῆς βλασφημίας αἱ γλῶσσαι φλογίζονται διηνεκεῖς καὶ οὐκ ἔστιν ὁ δροσίζων, τότε τῶν καταλαλούντων αἱ γλῶσσαι ὑπὸ τῶν ἀποτόμων ἀγγέλων συντρίβονται, τότε τῶν φιλαργύρων αἱ χεῖρες κρεμάμεναι τρέμουσιν καὶ καταξεόμεναι ὀδυνῶνται, τότε οἱ ὀφθαλμοὶ τῶν διανευόντων ἐμπαθῶς ἐξορύσσονται. ποῦ τότε γονεῖς, ποῦ ἀδελφοί, ποῦ πατήρ, ποῦ μήτηρ, ποῦ φίλος, ποῦ γείτονες, ποῦ ἡ τῶν ἀρχόντων ἐξουσία, ποῦ ὁ καλλωπισμὸς τῶν ἱματίων, ποῦ τὰ λαμπρὰ ὑποδήματα, ποῦ ὁ καλλωπισμὸς τῶν δακτυλίων, ποῦ τὰ κρέα, ποῦ ὁ χρυσὸς καὶ ὁ ἄργυρος, ποῦ ἡ τρυφὴ καὶ ποῦ ὁ οἶνος ὁ πολύς, ποῦ τὰ περιβόλια τὰ εὔμορφα καὶ ἡ ξειφάντωσις, ποῦ οἱ τοὺς θησαυροὺς φυλάττοντες καὶ παρορῶντες τοὺς ἐπτωχοὺς καὶ ὡς ἀθάνατοι διακείμενοι, ποῦ οἱ μετὰ τυμπάνων καὶ χορῶν σπαταλῶντες, ποῦ εἰσὶν ἐν τῇ ὥρᾳ ἐκείνῃ οἱ ἀπιστοῦντες καὶ λέγοντες· φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν, ποῦ εἰσὶ τότε οἱ λέγοντες, ὅτι φιλάνθρωπός ἐστιν ὁ θεὸς καὶ οὐ κολάζει τοὺς ἁμαρτωλούς; πόσα μετανοήσουσιν οἱ ταῦτα λέγοντες, πόσα θρηνήσουσι καὶ οὐκ ἔσται ὁ ἐλεῶν αὐτούς. διό, ἀγαπητοί, δράμωμεν, ὡς καιρὸν ἔχομεν, στενάξωμεν, μετανοήσωμεν, ἐξυπνισθῶμεν, παρακαλῶ, ἐκ τοῦ ὕπνου τῆς ῥαθυμίας ἡμῶν καὶ ἐκ τοῦ βάθους τῆς ἀμελείας, μὴ χασμώμεθα ἐν τῇ ἐκκλησίᾳ τῷ ὕπνῳ καὶ βαπτιζόμενοι καὶ οὐ προσέχομεν τῇ ἀναγνώσει τῶν θείων λογίων, ἀλλ᾽ ἐν φόβῳ θεοῦ ὑψώσωμεν χεῖρας πρὸς τὸν δυνάμενον σῶσαι καὶ εἴπωμεν· «κύριε Ἰησοῦ Χριστέ, ὁ θεὸς ἡμῶν, σῶσον ἡμᾶς διὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου». μόνον σπουδάσωμεν, πρὶν ὁ ἥλιος

δύσει, πρὶν ἡ θύρα κλεισθῇ, πρὶν ἡ πανήγυρις λυθῇ καὶ ἡ νὺξ καταλάβῃ, τότε οὐδεὶς πραγματεύεται, ἐπὰν τὸ θέατρον λυθῇ. δρόμου χρεία, ἀδελφοί· δράμωμεν, ἵνα μὴ καὶ ἡμεῖς . . . . . . . . οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ, καθὼς αἱ πέντε μωραὶ παρθένοι . . . . . . τὸν δεσπότην ἀτιμάζομεν καθ' ἑκάστην δι' ἀτόπων καὶ σαρκικῶν πράξεων. αἰσχυνθῶμεν λοιπόν· ὁ γὰρ καιρὸς ἤγγικεν καὶ ἡ ἡμέρα ἔφθασεν καὶ δεῖ ἡμᾶς λόγον αὐτῷ δοῦναι ὑπὲρ ὅλου τοῦ βίου ἡμῶν. παυσώμεθα λοιπὸν τῆς ἀμέτρου τρυφῆς, τοῦ αἰσχροῦ γέλωτος, ἵνα μὴ ἐκεῖ κλαύσωμεν πικρῶς, καὶ ἀγωνισώμεθα πρὸ τῆς ὥρας ἐκείνης εἶναι εὐπρεπεῖς, κἂν ἐσυνειθίσαμεν ἐν ἁμαρτίαις, ἀλλὰ ἀνακόψωμεν ταῖς μετανοίαις. μὴ πλανηθῶμεν, ἀδελφοί, καὶ κρίσις ἐστὶ καὶ κόλασις αἰωνία, ἄσβεστον πῦρ καὶ σκώληξ ἀτελεύτητος, σκότος ἐξώτερον καὶ τάρταρος καὶ βρυγμὸς καὶ κλαυθμός, ὡς ὁ κύριος ἐν εὐαγγελίοις ὅλων τούτων ἐμνημόνευσεν καὶ οὐ ψεύδεται· «ὁ οὐρανὸς γάρ, φησι, καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι». διὸ φοβηθῶμεν καὶ φρίξωμεν πάντες οἱ ἐν ἁμαρτίαις ζήσαντες καὶ σπουδάσωμεν μετὰ τῶν ἁγίων συναριθμηθῆναι διὰ τῆς μετανοίας. ταύτην τὴν παραίνεσιν καὶ νουθεσίαν ἔγραψα πρὸς ὑμᾶς, ὦ φίλοι μου καὶ ἀδελφοὶ καὶ τέκνα ἠγαπημένα τῆς ἡμῶν μετριότητος, οὐχ ὡς ἱμείρομεν, ἀλλ' ὡς ἔφερεν ἡ ὥρα, καὶ δέξασθε, ἅπερ γράφω, ἐν ταῖς καρδίαις ὑμῶν ἀσφαλῶς ἐξ ὅλης ψυχῆς τοῦτον τὸν πνευματικὸν πλοῦτον, ὡς πηγὴ ἀγαθὴ καὶ λιπαρὰ τὸν σῖτον, ἵνα καρποφορήσητε ζωὴν αἰώνιον καὶ ἀθάνατον, ἐνταῦθα μὲν ἀξιωθῆτε μακρόβιοι, εὐθυνούμενοι, περισσευόμενοι ἐπὶ πᾶσιν ἀγαθοῖς, καὶ ἔσται τὸ ἔλεος τοῦ θεοῦ ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν καὶ ἔσται ἐπὶ τοὺς οἴκους ὑμῶν ἡ εὐλογία Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ καὶ εὐθυνεῖ κύριος διὰ τῆς παναχράντου αὐτοῦ μητρὸς καὶ διὰ πρεσβειῶν τοῦ ἁγίου, ἐνδόξου, πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου καὶ τοῦ ὁσίου Χριστοδούλου καὶ κατευοδώσει τὰς εἰσόδους καὶ τὰς ἐξόδους ὑμῶν καὶ τὰς διὰ θαλάσσης ὁδοιπορίας, ἐκεῖ δὲ ἀπολαύοιτε παρὰ τοῦ ἐπουρανίου βασιλέως τοὺς ἀδαμαντίνους καὶ ἀμαραντίνους στεφάνους, τρυφὴν τὴν ἀδάπανον, πάντων τῶν ἀγαθῶν τὴν τέρψιν, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν καὶ κοπιῶσιν δι' αὐτοῦ, οὗ ἡ χάρις καὶ τὸ ἄπειρον αὐτοῦ ἔλεος εἴη μετὰ πάντων ὑμῶν. ἀμήν. †

† Σίλβεστρος, ἐλέῳ θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας. †

*Archet. membr. Flor. II. nro 43.*

## CXXII. 7088—1579, mense novembri [ind. VIII].

*Macarius, abbas monasterii, scribit patriarchae Ieremiae II. de hereditate metropolitae Beniamin et libertate monasterii.*

† Τῷ παναγιωτάτῳ καὶ οἰκουμενικῷ πατριάρχῃ, κυρίῳ Ἱερεμίᾳ τῆς Κωνσταντινουπόλεως, Νέας Ῥώμης, δοθείη ἐντίμως. †

† Παναγιώτατε καὶ οἰκουμενικὲ πατριάρχα τῆς Κωνσταντινουπόλεως, Νέας Ῥώμης, ἡμῶν δὲ αὐθέντα καὶ δέσποτα. ἡμεῖς δὲ τῆς ἱερᾶς καὶ βασιλικῆς μονῆς τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἱερομόναχοι καὶ μοναχοὶ τὴν προσήκουσαν μετάνοιαν ποιοῦμεν τῆς σῆς παναγιότητος. τὴν τιμίαν σου ἐλάβαμεν γραφὴν περὶ τῆς ὑποθέσεως τοῦ ἀποιχομένου μητροπολίτου Βενιαμίν. ἐδῶ ἦλθεν ὁ κύριος Ἰωάννης τοῦ Δημητρίου τοῦ Ναξιώτου καὶ ἔλαβεν φλωρία ἑβδομήκοντα διὰ τῶν ἱερῶν τὴν ὑπόθεσιν καὶ ἄλλα πράγματα, ὅσα ὑπῆρχεν ἐκ τοῦ μητροπολίτου εἰς τὰ χέρια τῆς Ζωῆς, ἔλαβεν αὐτά. καὶ ἐποίησαν γραφαῖς καὶ ἐσιάσθησαν μετὰ τοῦ μοναστηρίου καὶ τῆς Ζωῆς. νῦν δὲ ἦλθεν ὁ ἅγιος, ὁ εὐλαβέστατος παπᾶς, κῦρις Νικόλαος, ὁ χαρτοφύλαξ τοῦ Παρωναξίας, καὶ ἔφερεν ἡμῖν γράμμα ἀπὸ τῆς σῆς παναγιότητος καὶ ἀφορίζῃ ἡμᾶς καὶ ἱερομονάχους καὶ μοναχοὺς διὰ τῆς αὐτῆς ὑποθέσεως. ὅμως ἡμεῖς ἐγνωρίσαμεν τὴν γραφήν, ὅτι τῆς σῆς παναγιότητος τὸ γράμμα ἔγεινεν τὸν μάιον, αὐτὸς δὲ ὁ Ἰωάννου ἦλθεν ἐδῶ τὸν ἰούνιον καὶ ἐποίησεν τὴν σύμβασιν μετὰ τοῦ μοναστηρίου καὶ μετὰ τῆς Ζωῆς. καὶ διὰ τοῦτο ἱκετεύομεν τὴν σὴν παναγιότητα, ἵνα στάλῃς ἡμῖν γράμμα συγχωρήσεως διὰ τὴν αὐτὴν ὑπόθεσιν, ὅτι καθὼς γράφομεν τῆς σῆς παναγιότητος, οὕτως ἐστὶν μετὰ ἀληθείας, δέσποτα ἡμῶν αὐθέντα· ὑπὸ τῶν μακαριτῶν πρώην πατριαρχικῶν πάντως αἱ ἅγιαι αὐτῶν γραφαὶ βασιλικὴν τὴν μονὴν ἐγχαράττων καὶ ἐγράφασιν, καθὼς ἐστιν καὶ ὑπάρχει ἡ μονὴ κατὰ τῶν βασιλέων καὶ τοῦ ἁγίου τὴν διαθήκην. νῦν δὲ ὀλίγου καιροῦ παρελθόντος λαμβάνομεν γραφῆς ἀπὸ τῆς σῆς παναγιότητος καὶ γράφουσιν ἡμᾶς σταυροπήγιον καὶ ἡμεῖς οὐδέποτε οἴδαμεν τοιαύταις γραφαῖς καὶ παρακαλοῦμεν καὶ ἱκετεύομεν τὴν σὴν παναγιότητα, ἵνα μένῃ εἰς τὸ διηνεκὲς ἡ μονὴ βασιλική, καθὼς ὑπῆρχεν πάντοτε αὐτεξουσία, καθὼς ἰδεῖν θέλεις καὶ τὸ πρόσωπον τῆς βασιλέως ἐξουσίας. καὶ ἔχομεν καὶ ἕτερα πλεῖστα εἰς τὴν μονὴν μετὰ χρυσοβούλλων καὶ ἑτέρων ἁγίων πατριαρχῶν σιγίλλια καὶ ἱκετεύομεν τὴν σὴν παναγιότητα, μὴ βαρυνθῇς ἐπὶ ταὐτό, ἀλλ' αἱ ἅγιαι σου εὐχαὶ ἔστωσαν μεθ' ἡμῶν. ͵αφοθ', μηνὶ νοεμβρίῳ. †

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ. Δήμος Κ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

† Μακάριος, ἱερομόναχος καὶ καθηγούμενος μονῆς Πάτμου, καὶ οἱ σὺν ἐμοὶ ἀδελφοὶ ἱερομόναχοι καὶ μοναχοί. †

*Extat in M. Crusii Turcograecia. Basilea (1584) libr. IV. p. 301—302.*

## CXXIII. 7088—1580, . . . . ind. VIII.

*Sophronius, patriarcha hierosolymitanus, hortatur monachos, ut simul habitent et eadem vitae ratione utantur.*

† Σωφρόνιος, ἐλέῳ θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης. †

† Οἱ τῆς ἱερᾶς καὶ θείας βασιλικωτάτης μονῆς τοῦ ἁγίου, ἐνδόξου, πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἐν τῇ νήσῳ Πάτμῳ, ὅ τε πανοσιώτατος καθηγούμενος σὺν τοῖς λοιποῖς αὐτοῦ ἀδελφοῖς, τιμιωτάτοις ἱερομονάχοις τε καὶ μοναχοῖς, υἱοῖς κατὰ πνεῦμα ἀγαπητοῖς τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη καὶ ἔλεος ἀπὸ τοῦ ἀγαθοῦ καὶ ὑπεραγάθου καὶ παναγάθου ἡμῶν θεοῦ καὶ βασιλέως Χριστοῦ τοῦ νεύσαντος εἰς τὰς καρδίας ὑμῶν καὶ δέδωκε βουλὴν ἀγαθὴν καὶ ἔννοιαν διὰ τὸ κοινόβιον ἐκλέξαι καὶ βεβαιῶσαι αὐτό, ὡς δέδοται ἀπ᾿ ἀρχῆς νὰ πολιτεύεται ἡ τάξις τῶν μοναχῶν μᾶλλον, καθὼς διατάττεται καὶ ὁ ἅγιος Χριστόδουλος καὶ τῆς μονῆς κτήτωρ μετὰ ἀφορισμοῦ· «ὅστις ἀνατρέψῃ δηλονότι τὸ κοινόβιόν μου καὶ γένηται ἰδιόρρυθμον, δίκας δώσει τῷ θεῷ ἐν ἡμέρᾳ ἀνταποδόσεως». τοῦτο γοῦν παρὰ τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις καὶ ὑμετέρου ἀδελφοῦ, παπᾶ κῦρ Ἰωσήφ, καὶ εἰς ἡμᾶς ἠνέχθη τὸ δ . . . . λίαν ἡμᾶς εὔφρανεν ἡ ταύτη συμφωνία, ἵνα μὴ τὸ καλὸν διαμείνῃ ἀθάνατον ἐκτὸς διαγωγῆς κοινοβιακῆς, ὡς βούλεται τὸ ἐπάγγελμα τοῦ ἀγγελικοῦ καὶ θείου μοναδικοῦ σχήματος, καθὼς παρέδωκεν ὁ σωτὴρ καὶ τοῦτο οἱ τοιοῦτοι ἐτήρησαν μαθηταί· οὐ γὰρ ἀ[πὸ τῶν χρό]νων Παχωμίου τε καὶ [τοῦ] Θηβαίου Παύλου καὶ Ἀντωνίου τοῦτο ἤρξατο, ὥς τινές φασιν, ἀλλ᾿ ἀπ᾿ αὐτοῦ τοῦ σωτῆρος καὶ εἰς τοὺς ἀποστόλους ἐλθεῖν, ἐπεὶ κἀκεῖνοι μοναδικῶς ἔζων ἐν τῇ ἁγνείᾳ καὶ τροφαῖς καὶ ἐνδύμασι καὶ ἐν νηστείαις καὶ προσευχαῖς καὶ εἰς τοὺς μετ᾿ ἐ . . . . θη καὶ εἰς τοὺς ὁσίους πατέρας ἐξέλαμψε, μάλιστα δὲ καὶ προφήτας Ἠλιοῦ ἀναχωρῶν καὶ παρθένος μὲν ὑπὲρ τὸν νόμον, καὶ Ἐλισσαῖος αὐτῷ καθυποτασσόμενος καὶ οἰκῶν τὸ ὄρος καὶ ὁ βαπτιστὴς Ἰωάννης ὕστερον ἁγνὸς καὶ γυμνὸς καὶ ἄτροφος [διῃτᾶτο τόπους] ἐρήμους οἰκῶν καὶ κηρύττων μετάνοιαν, τετελείωκε δὲ καὶ παρέδωκεν, ὡς ἔφημεν, ὁ σωτήρ, καὶ κοινοβιακοῦ δὲ βίου τάξιν ὑπέδειξε διὰ τῶν αὐτοῦ μαθητῶν καὶ τὸ καταλιμπάνειν τοῦ κόσμου

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006

παντός. πρὸς τοῦτο οὖν, ἀδελφοί, τὸ σχῆμα τὸ ἅγ[ιον καὶ προ]φητικὸν καὶ ἀποστολικὸν καὶ ἐξαιρέτως ἀγγελικόν, ὡς τὴν παρθενίαν τῶν ἀγγέλων μιμούμενον καὶ ὑποταγήν. χρὴ οὖν ἐπὶ τούτου, καθάπερ οἱ ἄγγελοι ἐν τῷ οὐρανῷ, κοινῇ τάξει καὶ ὑμνήσει μιᾷ δοξολογοῦν τὸν δεσπότην, οὕτω καὶ ἡμεῖς ἐπὶ τῆς γῆς πάντες ἄνθρωποι ὀφεί[λομεν] καὶ δοξάζειν τὴν ἁγίαν τριάδα ἐν μιᾷ θεότητι, πολλῷ μᾶλλον οἱ μοναχοὶ ἐν τοῖς μοναστηρίοις, ὡς ὅμοιοι τῶν ἀγγέλων διὰ τοῦ σχήματος, ὡς προείρηται, δέον ἐστὶ ὡς ἄγγελοι καὶ ἀπόστολοι ἐν μιᾷ ψυχῇ καὶ καρδίᾳ κοινοβιακῶς πολιτεύεσθαι, διότι οὐκέτι ἐπίγειος τοῦ κόσμου τούτου ὁ μοναχός, ἀλλ' ὑπερκόσμιος καὶ οὐράνιος καὶ τὸ πολίτευμα ἀληθῶς μετὰ τοῦ Παύλου ἔχων ἐν οὐρανοῖς, καὶ τοῦτο ἐπαγγελλόμενος, διὸ γινωσκέτω πᾶς μοναχός, ὡς οὐκ ἔστιν, ὅτι τῆς παρούσης ζωῆς, ἀλλὰ τῷ βίῳ τούτῳ νενέκρωται καὶ ἄφθαρτός ἐστι καὶ ἐπουράνιος ἄνθρωπος. καὶ κατὰ Παῦλον αὖθις εἰπεῖν· «ὁ κόσμος αὐτῷ ἐσταύρωται καὶ αὐτὸς τῷ κόσμῳ». καὶ ἐπεὶ ὁ παρὼν μὲν καιρὸς ἐργασίας, ὁ δὲ μέλλων ἀνταποδόσεως, μὴ ἀμελήσητε, ὡς εἴπομεν, εἰς τὸ θεάρεστον καὶ θεοτίμητον ἔργον τοῦ κοινοβίου, ἀλλὰ σπουδάσατε τάχιον γενέσθαι· «βιαστὴ γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν καὶ οἱ βιαζόμενοι ἁρπάζουσιν αὐτήν». οὐ γὰρ οἶδέ τις, τί τέξεται ἡ ἐπιοῦσα. γέγραπται γάρ· «ἐν ᾧ εὕρω σε, κρινῶ σε». καὶ κατορθώσατε λοιπὸν τὸ κοινόβιον ἐξ ὅλης ψυχῆς ἐκτὸς δισταγμὸν καὶ σύγχυσιν, ἵνα εὑρηθῆτε εὐάρεστοι ἐνώπιον τοῦ θεοῦ καὶ μὴ αἰσχυνόμενοι, ὅταν ἀποδώσῃ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, καὶ οἱ μὲν τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες καὶ οὐκ ἐμετενόησαν εἰς ἀνάστασιν κρίσεως. οὐκοῦν παύσασθε, ἀντιβολῶ, τῆς ἰδιορρυθμίας, ἥπερ ἐστὶ σημεῖον ἀνυποταξίας καὶ φιλουλίας *(sic)* μήτηρ καὶ φιλαυτίας. καὶ ὁ τῆς **Κλίμακος** θεῖος Ἰωάννης πλάνην ὀνομάζει αὐτὴν καὶ ἀπάτην, καὶ οὐδεὶς τῶν πατέρων λοιπὸν ἢ τῶν ἀποστόλων ἐνομοθέτησε γενέσθαι μοναστήριον ἰδιόρρυθμον, ἀλλὰ κοινόβια, ὡς ἐπαρέδωκεν ὁ σωτὴρ διὰ τῶν αὐτοῦ μαθητῶν, ἡ δὲ ἰδιορρυθμία ἐν κεφαλαίῳ τινὶ εὕρομεν, ὅτι ὑπὸ τινῶν αἱρεσιαρχῶν λεγομένων **Λαμπετιανῶν**, ἀπὸ **Λαμπετίου** τινὸς οὕτως προσαγορεύονται, ἡ ἰδιορρυθμία ἐσπάρθη, οἵτινες τοῖς βουλομένοις ἐπὶ τὸ αὐτὸ ζῆν δηλονότι ἐν κοινοβίοις ἐπιτρέπουσιν οἱ κατάρατοι ἑκάστῳ, οἵαν ἐθέλει δοκιμάζειν πολιτείαν, τοιαύτην μετιέναι κατὰ τὸ αὐτοῦ θέλημα καὶ ἄλλας ἑτέρας ἀταξίας φληναφοῦντες οἱ δύστηνοι. καὶ οἱ μὲν ὅσοι ἐτύγχανον τοῖς ἐντετυπωμένοις παρὰ τῶν θείων πατέρων κοινοβίοις ἔν τε βρώσει καὶ πόσει καὶ ἐσθῆτι καὶ τῇ λοιπῇ διαγωγῇ καὶ ἐν ταῖς πρεπούσαις ἐν τοῖς μοναστηρίοις πνευματικαῖς διακονίαις καὶ οὐ σαρκικαῖς καὶ ὑπακοῇ, θελήματι, πνευματικῶν δηλονότι καὶ οὐ σαρκικῶν, καθὼς καὶ ὁ μέγας τῆς σοφίας ὁ

ποταμὸς Βασίλειος ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ διετύπωσε λόγοις. τοὺς θέλοντας τοίνυν τοῖς τοιούτοις λόγοις συζῆν οἱ Λαμπετιανοὶ διδάσκουσιν ἐν τοῖς ἰδίοις θελήμασιν αὐτῶν πορεύεσθαι, καὶ οὐδὲν ἕτερόν ἐστιν ἡ πεπλανημένη διδασκαλία αὐτῶν, ἀλλ' ἢ τὸ ἀποστῆναι τῆς κοινοβιακῆς, μᾶλλον δὲ τῆς πνευματικῆς διαγωγῆς καὶ συμπεριφέρεσθαι τοῖς οἰκείοις θελήμασι. ἀλλ' αἱ μὲν τῶν θείων πατέρων διδασκαλίαι, οἵτινες τῷ ἁγίῳ καταυγασθέντες πνεύματι περὶ τὴν τάξιν τὴν ἀγγελικήν, ἥτις ἐστὶν ὁ κοινὸς βίος, ἐθέσπισαν καὶ βεβαίωσαν, μᾶλλον δὲ τὸν μέγαν οὐρανοφάντορα Βασίλειον πανταχοῦ περιφέρουσιν, ὡς τὸν χαρακτῆρα τοῦ κοινοβιακοῦ κανόνος ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ λόγοις παραδιδόντα καὶ πᾶσαν μοναδικὴν πολιτείαν· καὶ γὰρ τὰ κοινόβια οἱ πατέρες καὶ αὐτὴν τὴν μοναδικὴν πολιτείαν οὐχ ἁπλῶς πως δέχονται, ἀλλὰ κατὰ τὰ ἀσκητικὰ τοῦ μεγάλου Βασιλείου καὶ κατὰ τὰς παραδόσεις τῶν λοιπῶν θεοφόρων πατέρων, καθὼς καὶ ἡ ζ' σύνοδος εἰς τὸν κανόνα τὸν κ' περὶ διπλῶν μοναστηρίων, ἀνδρῶν καὶ γυναικῶν, λέγει, ὅτι κρατείτωσαν κατὰ τὸν κανόνα τοῦ μεγάλου Βασιλείου καὶ κατὰ τὴν διαταγὴν αὐτοῦ, δηλονότι τῆς κοινῆς διαίτης, οὕτω διατυπούσθωσαν. διὸ καὶ ἡ μετριότης ἡμῶν κατὰ τὴν παράδοσιν ταύτην τῶν θείων καὶ πεφωτισμένων πατέρων, Βασιλείου φημὶ καὶ τῶν λοιπῶν, καὶ κατὰ τὰ γράμματα τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου Κωνσταντινουπόλεως, κυροῦ Ἱερεμίου, ἅμα δὲ καὶ τοῦ μακαριωτάτου πάπα καὶ πατριάρχου Ἀλεξανδρείας, κυροῦ Σιλβέστρου, τῶν ποθεινοτάτων ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, διαλαμβάνουσι μετὰ ἀλύτου δεσμοῦ, ὅπως κατορθώσετε καὶ βεβαιώσετε τὸ κοινόβιον· οὕτως ἀποφαίνεται ἐν ἁγίῳ πνεύματι. καὶ εἰ μὲν ὑπάρχει τις ἀδελφὸς ἱερομόναχος ἢ μοναχὸς καὶ οὐ παραδέχεται τὸ κοινόβιον τοῦ μεῖναι ἐν τῷ μοναστηρίῳ καὶ βούλεται ἐξελθεῖν τῆς μονῆς, μηδεὶς ἐμποδίσειεν αὐτόν, ἀλλὰ λαβέτω καὶ ὅπερ κέκτηται ἴδιον καὶ πόρρω ἀπελθέτω ἀπὸ τῆς μονῆς καὶ ἔστω συγχωρημένος, οἱ δὲ λοιποὶ ἀδελφοὶ οἱ βουλόμενοι προσκαρτερεῖν τῷ μοναστηρίῳ γενέσθωσαν κοινοβιᾶται καὶ μενέτωσαν ἀνόθευτοι τοῦ λοιποῦ, καθὼς ὁ τύπος διακελεύει, εἰ δέ τις ἐξ ὑμῶν τῶν ἀδελφῶν ἀποστρέφεται τοῦ τοιούτου καλοῦ ἔργου καὶ θέλει ἐμποδίσει, ὥστε τοῦ μὴ γενέσθαι τὸ κοινόβιον, εἰ μὲν ἱερομόναχος εἴη, ἔστω ἀργὸς καὶ καθαιρημένος πάσης ἱεροπραξίας, εἰ δὲ μοναχός, ἀφωρισμένος ἔστω καὶ τῆς ἐκκλησίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἐξωσθήτω. διὸ καὶ τὸ παρὸν τῆς ἡμῶν μετριότητος ἐπιδέδοται γράμμα εἰς ἀσφάλειαν πάντων τῶν εὐσεβῶν καὶ βεβαίωσιν τοῦ μηκέτι τολμήσειέ τις τῶν ἁ[πάντων πώ]ποτε καὶ ἀντιλέγει τι τὸ παράπαν κατὰ τοῦ κοινοβίου, οὗ ἐθεσπίσαμεν καὶ ἐβεβαιώσαμεν κατὰ τὴν παράδοσιν τῶν ἁγίων πατέρων. καὶ ταῦτα μὲν οὕτως. ἀλλ' ὑμεῖς, ὦ φίλτατοι

καὶ σεβάσμιοι πατέρες, βεβαιώνοντες μετὰ πάσης [προθυμίας] καὶ ἐξ ὅλης ψυχῆς καὶ καρδίας τὸ κοινόβιον, συντεινόντων δὲ καὶ τοῦ τύπου μὴ ἀποτυχεῖν, ὅσα διατάσσει τῆς κοινῆς διαίτης, ἔστε συγχωρημένοι καὶ εὐλογημένοι πα . . . . . . τῶν σαρκικῶν ὀρέξεων καὶ ἐπιθυμιῶν, τύφου καὶ κενοδοξίας, παρακοῆς, ἀντιλογίας, κακίας, κατακρίσεως, καταλαλιᾶς, ψεύδους, συκοφαντίας . . . . . . . . . . . . . . . . . . . . . . . ταπείνωσιν καὶ ὑποταγήν, ἐγκράτειαν, νηστείαν, ἀλήθειαν γλώσσης, σωφροσύνην σώματος, ὀφθαλμῶν χαλιναγωγίαν καὶ πρὸς ἀλλήλους ὑ . . . . . . . προσστάτα καὶ ἐλεημοσύνην καὶ μετάδοσιν εἰς τοὺς πένητας, προθυμίαν εἰς τὸ ἐργόχειρον καὶ εἰς πᾶσαν ἄλλην ὑποταγὴν τοῦ κοινοβίου· ἔστε ὑμεῖς εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι . . . . . . . η κακὸν ἀντὶ κακοῦ, ἀλλὰ νικᾶτε τὸ κακὸν ὑπὸ τοῦ ἀγαθοῦ, ποθεῖτε ἀγρυπνίαν, ψαλμῳδίαν, προσευχήν, γονυκλισίαν τὸ κατὰ δύναμιν, δουλαγωγίαν σώματος, κάτω τὸ βλέμμα ἔχειν, ἄνω δὲ τὸν νοῦν. πρὸ δὲ πάντων χρὴ τὸν μοναχὸν ἐγκρατεύεσθαι ἀπὸ συντυχίας γυναικῶν καὶ ἀπὸ οἰνοποσίας, ὅτι οἶνος καὶ γυναῖκες καὶ παιδία ἀποστήσουσι συνετούς, καὶ τὸ κρεῖττον τὸ μὴ ἀπολιμπάνεσθαι τῶν ἱερῶν συνάξεων τῆς ἐκκλησίας καὶ κατορθοῦντας κατὰ τὸ δυνατὸν τὰς τοῦ κυρίου ἐντολὰς μὴ ἀκηδιᾶν καὶ ἀμελεῖν, ἀλλὰ τὸν μισθὸν καὶ τὸν ἔπαινον παρ᾽ αὐτοῦ ἐκδέχεσθαι καὶ τῆς αἰωνίου ζωῆς ποθεῖν τὴν ἀπόλαυσιν, ὀφείλει δὲ ἐπὶ πρεσβυτέρων σιωπᾶν, ἐπὶ σοφωτέρων ἀκροᾶσθαι, πλείονα νοεῖν, ὀλίγα φθέγγεσθαι, μνημονεύειν τῶν ἐσχάτων, πάντοτε πρὸ ὀφθαλμῶν ἔχειν τὸν θάνατον, πρὸς πάντας ταπεινὸν εἶναι, μισεῖν τὴν ὑπερηφανίαν, νήφειν καὶ τηρεῖν τὰς καρδίας ἀπὸ πειρασμῶν πονηρῶν. οὕτως οὖν ποιοῦντες, ἀγαπητοί, καὶ ὡς ἰσάγγελοι τῶν οὐρανίων γερῶν καὶ ἀμοιβῶν ἐπιτεύξοισθε καὶ τῆς τῶν οὐρανῶν βασιλείας. πλὴν καὶ τοῦτο ἡ μετριότης ἡμῶν ἐντέλλεται τῇ ὑμετέρᾳ ἀγάπῃ βέλτιον ὑπὲρ ὧν προειρήκαμεν, ὅτι κατὰ τοὺς ὅρους τῶν ἁγίων πατέρων οὐ χρὴ διδάσκονται *(sic)* παιδάρια κοσμικὰ ἔσω ἐν τοῖς μοναστηρίοις κατὰ τὸν ιϛ´ κανόνα τοῦ ἁγίου **Νικηφόρου**, πατριάρχου **Κων**σταντινουπόλεως. ὑμεῖς οὖν, ὡς ἠκούσαμεν, παραβαίνετε τοὺς ὅρους τῶν ἁγίων πατέρων καὶ διδάσκετε παιδία ἐντὸς τοῦ μοναστηρίου. διὸ ἀπὸ τοῦ νῦν παύσετε τοιαύτης ἀτοπίας καὶ πλέον μὴ δέξασθε ἀπὸ τῆς πόλεως καὶ ἔξω τι τῶν ἀγενείων παίδων ἐλθεῖν ἔσωθεν, καθάπερ καὶ τὰς γυναῖκας. εἰ δέ τις ἐξ ὑμῶν τῶν ἱερομονάχων ἢ τῶν μοναχῶν δέξεται σπανὸν παιδὶ ἐντὸς τοῦ μοναστηρίου, κἂν καὶ κατὰ σάρκα αὐτοῦ ἐστιν υἱὸς μονογενής, ἔστω ἀφωρισμένος ὡς παραβάτης τοῦ νόμου καὶ παρήκοος τοῖς θείοις ἐντάλμασιν. διὰ τοῦτο ποιήσατε, ὡς γράφομεν, καὶ μὴ ἄλλως, νὰ πολιτεύεσθε σεμνῶς καὶ κοσμίως, ἄσπιλοι, ἄμωμοι ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ κακοῦ θελήματος, καθὼς ἐφίεται καὶ ποθεῖ τὸ

ἀγγελικὸν σχῆμα, ἵνα καὶ ἡ προσευχὴ ὑμῶν τότε καὶ ἡ δέησις περὶ τῶν ὑμετέρων σφαλμάτων εὐπρόσδεκτος γένηται ἐνώπιον τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, οὗ ἡ χάρις καὶ τὸ ἄπειρον αὐτοῦ ἔλεος εἴη μετὰ πάντων ὑμῶν. ἀμήν. ἔτ[ους] ζπη', ἰνδικτιῶνος η'. †

† Σωφρόνιος, ἐλέῳ θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλήμ. †

*Archetyp. membr. Flor. II. nro 45. Tabula tineis est valde corrosa.*

## CXXIV. 7101—1593, mense iulio, ind. VI.

*Patriarcha Ieremias II. declarat, monasterium S. Mariae Exochorianae in insula Paro, quod postea fit metochium Sancti Ioannis, esse stauropegium.*

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐτῇ καὶ τῶν καθευρεθέντων ἱερωτάτων ἀρχιερέων, δι' ἀναφορᾶς ἀσφαλεστάτης τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Πάρου, κὺρ Ἱερεμίου, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἀδελφοῦ αὐτῆς καὶ συλλειτουργοῦ, ἐδηλώθη καὶ ἐπιστώθη ἐναργῶς, ὅτι ἐν τῇ Πάρῳ νήσῳ κατὰ τὸ μέρος τοῦ Κεφάλου ἀνῳκοδομήθη ναὸς ἐπ' ὀνόματι τιμηθεὶς τῆς Παναγίας τῆς Ἐξωχωριανῆς πρότερον καθιερωθεὶς σταυροπήγιον πατριαρχικὸν ἐξόδῳ καὶ δαπάνῃ πλουσιοπαρόχων τινῶν τῶν ἐκεῖσε εὑρισκομένων εὐλαβεστάτων μοναχῶν, οἵτινες θείῳ ζήλῳ κινούμενοι τὰς ἀνοικοδομὰς καὶ βελτιώσεις τῶν θείων μονῶν περὶ πλείστου ποιοῦνται. ἐπεὶ δὲ ἐζητήθη καὶ διὰ σιγιλλιώδους πατριαρχικοῦ γράμματος ἐπικυρωθῆναι τὸ τοιοῦτο ψυχωφελὲς ἔργον, ὡς ἂν εἰς τὸ ἑξῆς μὴ ἔχῃ τινὰ ἐπήρειαν παρά τε τοῦ κατὰ τόπον ἀρχιερέως καὶ τῶν ἄλλων, ὡς πατριαρχικὸν σταυροπήγιον, τούτου χάριν ἡ μετριότης ἡμῶν γράφουσα παρακελεύεται ἐν ἁγίῳ πνεύματι διὰ τοῦ παρόντος σιγιλλιώδους γράμματος, ἵνα ἡ νεωστὶ αὕτη κτισθεῖσα μονὴ τῆς Παναγίας τῆς Ἐξωχωριανῆς τιμᾶται ὡς πατριαρχικὸν σταυροπήγιον καὶ ἔχῃ τὸ ἀνενόχλητον καὶ ἀνεπηρέαστον εἰς αἰῶνα τὸν ἅπαντα παρὰ παντὸς προσώπου ἱερωμένου τε καὶ λαϊκοῦ καὶ αὐτοῦ τοῦ κατὰ τόπον ἀρχιεπισκόπου Πάρου, πρὸς δὲ καὶ τελῇ κατ' ἔτος πρὸς τὴν καθ' ἡμᾶς μεγάλην ἐκκλησίαν τῆς Κωνσταντινουπόλεως κηροῦ λιτρῶν δύο ὑποταγῆς χάριν, ὡς καὶ τὰ λοιπὰ πατριαρχικὰ σταυροπήγια, ὀφειλόντων καὶ τῶν ἐκεῖσε ἱερωμένων προσώπων ἀεὶ μνημονεύειν τοῦ πατριαρχικοῦ ὀνόματος

ἐν ἑσπέρᾳ καὶ πρωῒ καὶ μεσημβρίᾳ, ὡς ἔθος, ἔτι τε φροντίζειν καὶ προνοεῖσθαι τῶν πρὸς σύστασιν καὶ βελτίωσιν τῆς πατριαρχικῆς μονῆς ταύτης ἀφιερωμένων κτημάτων καὶ πραγμάτων τῶν τε ἐντὸς καὶ ἐκτός, ἐπεὶ ὅστις ἂν τῶν ἁπάντων ὀψέ ποτε καθ' οἱονδήτινα τρόπον βουληθῇ ἐπηρεάσαι κατά τι τοῦτο τὸ πατριαρχικὸν ἡμέτερον σταυροπήγιον ἢ ἀνατρέψαιτο τὸ παντελευθέρως αὐτοὺς ζῆν, ὡς ἔθος ἐστὶ τοῖς πατριαρχικοῖς σταυροπηγίοις, ὁ τοιοῦτος ἱερωμένος ὢν ἀργὸς ἔσται πάσης ἱεροπραξίας, λαϊκὸς δὲ ἀφωρισμένος καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον. ὅθεν εἰς ἀσφάλειαν ἐγένετο καὶ ἐπεδόθη τὸ παρὸν σιγιλλιῶδες γράμμα τῷ εἰρημένῳ πατριαρχικῷ σταυροπηγίῳ τῷ ἐπ' ὀνόματι τιμωμένῳ τῆς Παναγίας τῆς Ἐξωχωριανῆς ἐν ἔτει ζρα', μηνὶ ἰουλίῳ, ἰνδικτιῶνος ϛ'. †

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

*Archet. membr. Flor. II. nro 37.*

## CXXV. 7105—1597, die 19 mensis ianuarii, ind. XI.

*Meletius Pegas, patriarcha Alexandriae, procurator ecclesiae Constantinopolitanae, confirmat exemptiones et privilegia antiqua monasterii.*

† Μελέτιος, ἐλέῳ Θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ ἐπιτηρητὴς τοῦ οἰκουμενικοῦ θρόνου Κωνσταντινουπόλεως. †

† Εἰ τὸ τὰ πατρικὰ δόγματα καὶ θεσπίσματα διατηρεῖν ἀσινῆ τε καὶ ἀμετάτρεπτα λυσιτελές τε ὁμοῦ καὶ ἀναγκαιότατον, οἷα τῆς τούτων παρατροπῆς τε καὶ παραβάσεως εἰς βυθὸν ἀπωλείας ἀγούσης τοὺς ὑπερόπτας καὶ καταφρονητὰς τῶν τοιούτων, ἀναγκαῖον ἄρα καὶ τὸ τὰς διατάξεις τῶν προηγησαμένων ἀοιδίμων πατριαρχῶν καὶ ὀρθοδόξων βασιλέων ἀλωβήτους διατηρεῖν καὶ ὡς οἷόν τε ἀρραγεῖς καὶ ἀπαρεγχειρήτους, ἐπεὶ καὶ νόμοι πολιτικοὶ τοῖς ἐπαρχικοῖς διαιτηταῖς τὰς τῶν πρὸ αὐτῶν κρίσεις ἀθετεῖν κατά τι, ἐννομωτάτας καὶ δικαίας οὔσας, οὐκ ἐπιτρέπουσιν. ὅθεν καὶ τὴν κατὰ τὴν νῆσον Πάτμον διακειμένην σεβασμίαν μονὴν τὴν ἐπ' ὀνόματι τοῦ ἠγαπημένου μαθητοῦ καὶ παρθένου τοῦ Θεολόγου καὶ εὐαγγελιστοῦ Ἰωάννου καὶ ἱδρυμένην καὶ τιμωμένην καὶ τὴν νῆσον αὐτὴν τοῖς πρὸ ἡμῶν ἁγιωτάτοις πατριάρχαις καὶ πρὸ τούτων τοῖς ἀοιδίμοις βασιλεῦσι προνομίοις ἐλευθερίας καὶ αὐτεξουσιότητος τιμηθεῖσαν οὐκ ἦν

εἰκὸς μὴ τῶν ἴσων ταύτην τυχεῖν καὶ παρὰ τῆς ἡμῶν μετριότητος ἑπομένης ἐκείνοις καὶ κραττούσης ἀεὶ καὶ λογιζομένης· προσελθόντας γὰρ τῇ ἡμῶν μετριότητι τόν τε σοφώτατον καὶ λογιώτατον διδάσκαλον καὶ ἐκκλησιάρχην τῆς ῥηθείσης σεβασμίας μονῆς, ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κύριον Νικηφόρον, καὶ τὸν ὁσιώτατον καὶ τιμιώτατον ἐν ἱερομονάχοις κύριον Παρθένιον καὶ οἰκονόμον ταύτης, καὶ σὺν τούτοις τὸν ὁσιώτατον ἐν ἱερομονάχοις κύριον Κύριλλον, τοὺς κατὰ πνεῦμα υἱοὺς ἀγαπητοὺς τῆς ἡμῶν μετριότητος, ταύτης δὴ τῆς ὑποθέσεως ἕνεκα τοῦ τὰ παλαιγενῆ αὐτῶν δηλαδὴ ἐπικυρῶσαι καὶ ἡμᾶς βασιλικὰ χρυσόβουλλα καὶ πατριαρχικὰ ὑπομνήματα ἐπ' ἐλευθερίᾳ τῆς μονῆς ἐπιβραβευθέντα τοῖς ἐν αὐτῇ μοναχοῖς, καὶ προσεδέξατο τούτους ἡ μετριότης ἡμῶν εὐμενέστατα καὶ τὸ ἐντελὲς τῇ τούτων δεήσει τάχιον ἐχαρίσατο· πῶς γὰρ οὐκ ἔδει τῆς αἰτήσεως εὐλόγου τε καὶ δικαίας οὔσης, ἅτε δὴ «τοῦ συναιρεσθαι τοῖς κατ' ἀρετὴν διαφέρουσι καὶ ὅλοις διὰ βίου ἀντικειμένοις θεῷ, καὶ χεῖρα βοηθείας τούτοις ὀρέγειν, ἐν οἷς ἄρα καὶ δέοιντο, θεοφιλοῦς τε ὄντος καὶ τῆς θείας ἐντολῆς ἐχομένου». λαβοῦσα τοιγαροῦν ἀνὰ χεῖρας ἡ μετριότης ἡμῶν τὰ δηλωθέντα βασιλικὰ αὐτῶν καὶ πατριαρχικὰ γράμματα καὶ ταῦτα διεξελθοῦσα φιλοπονώτερον δεῖν ᾤετο τὰς περιλήψεις καὶ διανοίας αὐτῶν ὡς οἷόν τε συντετμημένως ἐν τῷ παρόντι αὐτῆς ἐνθεῖναι ὑπομνήματι, ὡς ἂν τοὺς ἐν αὐτῇ τῇ μονῇ μοναχοὺς τῇ ἐμφανείᾳ τούτου μόνον ἀποσοβεῖν δύνασθαι πάντα τὸν τὴν ἐλευθερίαν τῆς τε μονῆς καὶ τῆς νήσου λυμήνασθαι ἐγχειρήσοντα. περιεῖχε δῆτα τὸ τοῦ ἀοιδίμου βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ χρυσόβουλλον, ὡς ὅτι «ἐδωρήσατο ἡ βασιλεία αὐτοῦ τῷ εὐλαβεστάτῳ μοναχῷ Χριστοδούλῳ» (τῷ κτήτορι δηλαδὴ τῆς δηλωθείσης σεβασμίας μονῆς) «πᾶσαν τὴν νῆσον Πάτμον μετὰ πάσης τῆς περιοχῆς καὶ διακρατήσεως αὐτῆς», ἔρημον οὖσαν τὸ πρότερον καὶ παντάπασιν ἀοίκητον, καθὼς λεπτομερῶς διέξεισιν ἡ γεγονυῖα παράδοσις παρὰ τοῦ ἀναγραφέως τῶν Κυκλάδων νήσων, Νικολάου τοῦ μαΐστορος, ἥ τε διαμέτρησις αὐτῆς πρὸς τὸν δηλωθέντα κτήτορα «οὐ καιρικῶς οὐδὲ χρόνοις ἀριθμητοῖς, ἀλλ' ἐπ' ἀναφαιρέτῳ καὶ διηνεκεῖ τῇ δεσποτείᾳ καὶ κυριότητι καὶ ἄχρις ἂν ὁ παρὼν διαρκοίη αἰών, ἀτελῶς, ἀβαρῶς, ἐλευθέραν καὶ πάσης ἀπηλλαγμένην σεκρετικῆς συζητήσεως». διωρίζετο δέ, ἵνα καὶ «ἡ ἐν αὐτῇ τῇ νήσῳ ἀναγερθησομένη μονὴ παρ' αὐτοῦ, ἔτι δὲ καὶ οἱ ὑπ' αὐτὸν μοναχοί, οἵ τε τηνικαῦτα ὄντες καὶ οἱ ἐσύστερον ἐσόμενοι κατέχωσι καὶ δεσπόζωσι τὴν νῆσον ταύτην ἀτελῶς, ἀβαρῶς, κυρίως καὶ αὐθεντῶς, ἀναφαιρέτως τε καὶ αἰωνίως» καὶ «κἂν εἰς εὐφορωτάτην τε καὶ εὐπρόσοδον ἐκ λυπρᾶς καὶ τραχείας τῇ οἰκείᾳ μεταγάγοιεν σπουδῇ, εἰς ἴδιον κέρδος τὰς ἐντεῦθεν προσόδους λογίσωνται, μὴ παρά τινος τὸ σύνολον λογο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΕΠΕΞΕΡΓΑΣΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ε. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

πραγούμενοι ἢ ἀνακρινόμενοι». πρὸς τούτοις δὲ ἀπεφαίνετο ταύτην τὴν δηλωθεῖσαν σεβασμίαν μονὴν αὐτοδέσποτον καὶ αὐτεξούσιον μετὰ τῆς ὅλης νήσου διαμένειν ἐσαεί, καθ' ἑαυτὴν ἀγομένην καὶ διευθυνομένην καὶ οὔτε αὐτὴ οὔτε τὰ ὑπ' αὐτὴν οὐθ' ἡ νῆσος αὐτὴ ὑπὸ βασιλικὰ ἢ πατριαρχικὰ ἢ μητροπολιτικὰ ἢ ἐπισκοπικὰ ἢ ἐκκλησιαστικὰ ἢ ὑπό τινα ὅλως ἰδιωτικὰ ὑπαχθήσεται πρόσωπα, ἀλλ' ἐλευθεριάσουσι καθαρῶς ἄχρις αἰῶνος παντός. καὶ αὕτη μὲν ἡ ὡς ἐν συντόμῳ περίληψίς τε καὶ δύναμις τοῦ δηλωθέντος εὐσεβοῦς χρυσοβούλλου, γεγονότος κατὰ τὸ ,ϛφης΄ ἔτος τῆς ια΄ ἰνδικτιῶνος, κατὰ τὸν ἀπρίλιον μῆνα. γέγονε δὲ ἐπὶ τῷ καλῷ τούτῳ θεμελίῳ καὶ ὑπόμνημα, ἀναγνωσθὲν καὶ τοῦτο παρὰ τῆς ἡμῶν μετριότητος, τοῦ τῷ τότε τὸν πατριαρχικὸν θρόνον ἰθύνοντος, τοῦ μακαριωτάτου κυρίου Ἰωάννου, ἐπὶ ἔτους ,ϛχμ΄ κατακολουθοῦν μὲν καὶ πᾶσι τοῖς τῷ χρυσοβούλλῳ ἐμφερομένοις, παρεχόμενον δὲ ταύτῃ τῇ σεβασμίᾳ μονῇ «τὸ ἀνεπηρέαστον καὶ ἀνενόχλητον καὶ ἀπὸ τῶν κατὰ καιροὺς ἀποστελλομένων ἐξάρχων καὶ παντὸς ἑτέρου προσώπου, ἀποκλεῖον δὲ καὶ τὴν εἴσοδον πᾶσι τοῖς ἀρχιερεῦσι τοῖς ὑφ' ἑαυτοὺς ἄγειν τὴν μονὴν ἐπιχειροῦσιν, οὐ μὴν δέ, ἀλλὰ καὶ ἡμῖν τοῖς πατριάρχαις μηδέν τι προσεῖναι ἐπὶ τῇ μονῇ ταύτῃ οἱονδηποτοῦν ἄλλο δίκαιον συγχωροῦν, ἀλλ' ἢ μόνην τὴν ἀναφορὰν τοῦ οἰκείου ὀνόματος ἐν ταῖς θείαις ἱεροτελεστίαις· πρὸς τούτοις δὲ διοριζόμενον ἐξεῖναι τοῖς μοναχοῖς ἀκωλύτως, παρ' ᾧ ἂν βούλωνται τὰς ἑαυτῶν ποιεῖσθαι χειροτονίας καὶ καθ' ἑαυτοὺς ἐνεργεῖν τὴν τοῦ σφῶν ἡγουμένου προχείρισιν». καὶ τοῦτο μὲν τὸ πατριαρχικὸν [illegible]όμνημα. προσέτι δὲ καὶ τὸ προδιαληφθὲν χρυσόβουλλον προσεπιβεβαιοῖ πάλιν «καὶ ἀπαράθραυστα καὶ ἀπαρεγχείρητα διαμένειν εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους διορίζεται ὁ ἁγιώτατος καὶ ἀοίδιμος ἐν πατριάρχαις κύριος Λουκᾶς δι' ὑπομνήματος αὐτοῦ ἐνυπογράφου, γεγονότος καὶ τούτου κατὰ τὸ ,ϛχξζ΄ ἔτος, παρακελευόμενος ἐν τούτῳ «ἄβατον εἶναι παντάπασι τὴν μονὴν πᾶσι τοῖς ἑτέροις ἀρχιερεῦσι τοῖς ὑφ' ἑαυτοὺς ἄγειν πειρωμένους αὐτὴν καθ' οἱονδήτινα τρόπον τῶν μοναχῶν μὴ βουλομένων, ἀφορισμῷ αὐτοὺς ἐν ἁγίῳ καθυποβάλλοντος πνεύματι, εἴ γε μετὰ τὴν ἑαυτοῦ γραφὴν ὁπωσδήποτε καθ' οἱονδήτινα τρόπον παρασαλεῦσαι τὰ τῆς ἐλευθερίας τῆς μονῆς ἐπιχειρήσουσι..» καὶ ταῦτα μὲν περιείληπται ἐν τοῖς παλαιοτέροις τῆς μονῆς προνομίοις. προσῆν δ' αὐτῇ καὶ ἕτερα πατριαρχικὰ σιγίλλια, οὐ μακρὰν ἀπέχοντα τοῦ καθ' ἡμᾶς χρόνου καὶ ταῦτα παρὰ τῆς ἡμῶν μετριότητος θεωρηθέντα τε καὶ ἀποδεχθέντα, ὧν τὸ μὲν τοῦ ἁγιωτάτου δηλαδὴ πατριάρχου κυρίου Συμεὼν ἐπεβεβαίου τὰ διαληφθέντα παλαιγενῆ σιγίλλια τῶν ἀοιδίμων πατριαρχῶν, κυρίου Ἰωάννου καὶ κυρίου Λουκᾶ, καὶ πρὸς τούτοις διωρίζετο «κυρίαν εἶναι τὴν σεβασμίαν

μονὴν τῆς Πάτμου, αὐτοδέσποτόν τε καὶ καθ' ἑαυτήν, τὸν δέ γε πνευματικῶς τῶν ἐν αὐτῇ ἐνασκουμένων μοναχῶν προϊστάμενον μηδενὶ προσώπῳ κοσμικῷ ἢ ἐκκλησιαστικῷ ὑποκείμενον πώποτε, τὴν πατριαρχικὴν δὲ μόνην μεγαλειότητα κεφαλὴν ἐπιγινώσκειν πνευματικήν». πρὸς δὲ τῇ τῆς μονῆς κυριότητι, αὐτὸν τὸν τῆς μονῆς καθηγούμενον παρεκελεύετο πνευματικῶς διεξάγειν τοὺς ἐν αὐτῇ τῇ νήσῳ Πάτμῳ οἰκοῦντας πάντας καὶ πάντας τοὺς ἐν τοῖς τῆς μονῆς κτήμασι καὶ μετοχίοις προσκαθημένους καὶ τούτων ἔχειν τὴν πνευματικὴν ἀνάκρισιν καὶ διοίκησιν καὶ ποιμαίνειν τούτους πνευματικῶς κατὰ τὴν ἐνοῦσαν αὐτῷ διάκρισιν, σέμνωμα τοῦτο εἶναι φάσκον τῇ μονῇ προσαρμόσαν ἀνέκαθεν ἐκ τῆς πατριαρχικῆς μεγαλειότητος διὰ τὸ τὸν ἐπιστήθιον μαθητήν τε καὶ ἀπόστολον Ἰωάννην τὸν Θεολόγον ἐν ταύτῃ τῇ νήσῳ τὸ θεῖον συγγράψασθαι εὐαγγέλιον. ἔτι δὲ ἀπεφαίνετο «μηδένα τῶν ἀρχιερέων παρείσδυσίν τινα κεκτῆσθαι τὸ παράπαν ἔν τινι τῶν ὑπὸ τὴν μονὴν τελούντων κτημάτων, οὐδέ τι ἀρχιερατικὸν ἐπ' αὐτοῖς διενεργῆσαι λειτούργημα». πρὸς τούτοις δὲ διωρίζετο ἵνα «εἴπερ δεηθῇ ἀρχιερέως ὁ κατὰ καιροὺς καθηγούμενος ἐπὶ χειροτονίᾳ ἢ ἄλλῃ τινὶ ἱεροπραξίᾳ μετακαλῆται, ὅντινα αἱρετίσεται τῶν ἀρχιερέων.» καὶ αὕτη μὲν ἡ περίληψις τοῦ διαληφθέντος σιγιλλίου τοῦ κυρίου Συμεών. τὸ δὲ τοῦ κυρίου Παχωμίου, τὸ γεγονὸς κατὰ τὸ ,ζιγ' ἔτος, καὶ τοῦτο «τὴν ἀρχαίαν ἐλευθερίαν καὶ τὸ ἀκαταπάτητον τῶν ἐνασκουμένων μοναχῶν ἐν αὐτῇ τῇ σεβασμίᾳ μονῇ τῆς Πάτμου καὶ τὸ ἀνεπηρέαστον τοῦ ἡγουμένου διωρίζετο καὶ τοὺς ἐν αὐτῇ οἰκοῦντας μοναχοὺς τὸν κατὰ θεὸν ἀμέμπτως πολιτεύεσθαι βίον καὶ ζῆν ἐν αὐτῇ ἀνεπηρεάστους καὶ ἀσκανδαλίστους παρὰ τῶν κατὰ καιροὺς ταῖς φιλοδοξίαις ἐπιμαινομένων καὶ τὰς ἀκαίρους ἡγουμενείας ὑφαρπάζειν ἐπιχειρούντων». ἔτι δὲ προσεβεβαίου καὶ τὸ προδιαληφθὲν πατριαρχικὸν γράμμα τοῦ κυρίου Συμεών, ἀποφαινόμενον «ἔχειν αὐτὸ τὸ ἀμεταποίητον καὶ ἀμετάτρεπτον καὶ ἑδραῖον σὺν τοῖς ἑτέροις παλαιγενέσι γράμμασι καὶ καθὼς ἀνέκαθεν ἐπεκράτησεν ἐκ τοῦ ὅρου τοῦ τὴν μονὴν δειμαμένου, κατ' ἐκλογὴν ἐκ μέσου αὐτῶν ποιεῖν ἡγούμενον, ὃν ἂν ἐθελήσωσι, καὶ πάντα τὰ νενομισμένα αὐτοῖς εἶναι βέβαια καὶ εἰς τὸ διηνεκὲς ἀπαρασάλευτα, τοὺς δὲ καθ' οἱονδήτινα τρόπον τολμήσαντας σαλεῦσαί τι τούτων καὶ μετακινῆσαι ἀφορισμῷ ἀλύτῳ καθυπεβάλλετο ἀπὸ θεοῦ παντοκράτορος». καὶ πρὸς τούτοις αὖθις ἀπεφαίνετο, ὡς εἴ τι παρὰ ταῦτα τυχὸν γέγονεν ἢ γενήσεται ἐναντιούμενον τῇ μονῇ καὶ τοῖς ἐν αὐτῇ μοναχοῖς καὶ πρὸς σκάνδαλον ἀφορῶν ἢ καθόλου ἢ ἐν μέρει, τὸ τοιοῦτον ἀνίσχυρον εἶναι καὶ ἄπρακτον καὶ ὡς μὴ εἶναι μηδὲ γεγονὸς λογίζεσθαι, ἀλλὰ φυλάττεσθαι τὴν ἀρχαίαν τάξιν ἀμετακίνητον καὶ ὑποκεῖσθαι τῇ καθολικῇ μεγάλῃ ἐκκλησίᾳ καὶ τῷ κατὰ καιροὺς

πατριάρχῃ εὐπειθῶς ὑποτάσσεσθαι τὴν μονὴν καὶ τὰ κατ' αὐτὴν αὐτῷ ἀνάγεσθαι, ὁπόταν καὶ τουτὶ δεήσῃ εἰς σύστασιν αὐτῆς καὶ μονήν, οὐχὶ ὕφεσιν ἢ λῆψίν τινα ἐκεῖθεν καὶ ἐν ταῖς θείαις ἱερουργίαις ἀναφέρεσθαι τὸ μνημόσυνον αὐτοῦ ἐνεφανίσθη τῇ ἡμῶν μετριότητι καὶ πιττάκιον τοῦ οὐ πρὸ πολλοῦ τοὺς οἴακας τῆς καθολικῆς ταύτης ἐκκλησίας ἰθύνοντος μακαρίτου κυρίου Ἰωάσαφ, δι' οὗ καὶ αὐτὸς παρεκελεύετο «τὴν τοιαύτην μονὴν τῆς Πάτμου καὶ αὐτὴν τὴν νῆσον κατὰ τὰ χρυσόβουλλα τῶν ὀρθοδόξων βασιλέων καὶ τὰ σιγίλλια τῶν ἀοιδίμων πατριαρχῶν αὐτόνομόν τε εἶναι καὶ αὐτοδέσποτον, παντελεύθερόν τε καὶ ἀκαταπάτητον παρὰ παντὸς ἀρχιερατικοῦ ἢ λαϊκοῦ προσώπου, τυχόν». ταῦτα πάντα ἰδοῦσα καὶ ἀποδεξαμένη ἡ μετριότης ἡμῶν καὶ παρὰ τῶν προδιαληφθέντων ἀδελφῶν παρακληθεῖσα, ὥστε ταῦτα καὶ ἀνανεώσασθαι καὶ τὸ κῦρος παρασχεῖν αὐτοῖς ἰσχυρότατόν τε καὶ πάγιον καὶ ἐπιβεβαιώσασθαι, διορίζεται διὰ τοῦ παρόντος αὐτῆς σιγιλλιώδους γράμματος ἀνακεφαλαιοῦσα τὰ πάντα καὶ ἀποφαινομένη, ἵνα ἐν τῇ ἀρχαίᾳ καὶ συνήθει ἐλευθερίᾳ ἡ ῥηθεῖσα σεβασμία μονὴ τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου τῆς νήσου Πάτμου καὶ πᾶσα ἡ νῆσος αὐτὴ διαμένῃ ἐπ' ἄπειρον κατὰ τὴν τῶν δηλωθέντων βασιλικῶν χρυσοβούλλων καὶ τῶν πατριαρχικῶν σιγιλλίων ἀπόφασιν καὶ καθὼς οἱ πάλαι διωρίσαντο πατριάρχαι, καὶ μηδενὶ τῶν ἁπάντων, ἢ ἀρχιερεῖ ἢ ἑτέρῳ τῳ, ὑποκεῖσθαι δύνηται, εἰ μὴ τῷ Κωνσταντινουπόλεως πατριάρχῃ. ἔτι δὲ προσεπιβεβαιοῦμεν καὶ τοῦτο, ἵνα τῷ κατὰ καιροὺς καθηγουμένῳ οἱ ἐν τῇ αὐτῇ νήσῳ κατοικοῦντες πάντες πειθαρχεῖν ὀφείλωσι καὶ πείθεσθαι αὐτῷ ἐπὶ πᾶσιν, οἷς αὐτοῖς ἐπιτάξειε σωτηριώδεσι καὶ ψυχωφελέσι καὶ ὑπ' αὐτοῦ διεξάγεσθαι καὶ νουθετεῖσθαι κατὰ τὴν ἐνοῦσαν αὐτῷ διάκρισιν, καθὼς ἀνέκαθεν ἐπεκράτησεν, οὐδενὸς τῶν ἀρχιερέων ἢ τῶν τηλεδαπῶν ἢ τῶν πλησιοχώρων, ὡς εἴρηται, τὴν οἱανοῦν ἐξουσίαν ἔχοντος δεσπόσαι ἐκεῖσε ἢ κατ' ἐξουσίαν τι ποιῆσαι ἢ ἄλλο τι ἀρχιερατικὸν ἐνεργῆσαι, ἀλλ' εἰ δεήσει χειροτονίαν τινὰ γενέσθαι ἐν τῇ αὐτῇ σεβασμίᾳ μονῇ καὶ πάσῃ τῇ νήσῳ Πάτμῳ ἢ ἄλλην τινὰ ἐνέργειαν ἀρχιερατικήν, ἔχειν ἄδειαν τὸν ἡγούμενον μετακαλεῖσθαι, ὅντινα βούλεται τῶν ἀρχιερέων, κατὰ τὰ δηλωθέντα αὐτῷ προνόμια. εἴ τι δέ, τυχὸν παρὰ ταῦτα τὰ δηλωθέντα προνόμια τῆς τοιαύτης μονῆς ἢ γεγένηται ἢ γενήσεται ἐναντιούμενον τῇ μονῇ καὶ τοῖς ἐν αὐτῇ μοναχοῖς καὶ πρὸς σκάνδαλον ἀφορῶν ἢ καθόλου ἢ ἐν μέρει, τὸ τοιοῦτον ἀνίσχυρον εἶναι ἀποφαινόμεθα καὶ ἄπρακτον καὶ ὡς μὴ εἶναι μηδὲ γεγονὸς λογίζεσθαι, ὡς καὶ οἱ πρὸ ἡμῶν ἁγιώτατοι πατριάρχαι διωρίσαντο. τούτου χάριν καὶ τοῖς μεθ' ἡμᾶς ἐσομένοις ἁγιωτάτοις ἀρχιερεῦσι θεοῦ ἐν ἁγίῳ παρεγγυώμεθα πνεύματι τὸν ἀπὸ τῆς ζωαρχικῆς καὶ μακαρίας τριάδος δεσμὸν

ἄλυτον αὐτοῖς ἐπιτιθέντες, ὥστε πάντα ταῦτα τά τε παρὰ τῶν πρὸ ἡμῶν ἁγιωτάτων πατριαρχῶν, ἔτι δὲ καὶ τὰ παρ' ἡμῶν ᾠκονομημένα ἀναλλοίωτα καὶ ἀπαρεγχείρητα συντηρῆσαι καὶ μηδὲ τὸ βραχύτατον αὐτῶν ἀκυρῶσαι βουληθῆναι, εἴ γε βούλοιντο καὶ τὰ παρ' αὐτῶν διοριζόμενα καὶ οἰκονομούμενα τὸ κῦρος ἔχειν καὶ ἀμετάτρεπτα διαμένειν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἡμέτερον σιγιλλιῶδες γράμμα συνήθως πιστωθὲν ἐπεδόθη τῷ μέρει τῆς δηλωθείσης σεβασμίας μονῆς τοῦ ἁγίου ἐνδόξου, πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου τῆς νήσου Πάτμου κατέχειν αὐτὸ εἰς διηνεκῆ τὴν ἀσφάλειαν καὶ βεβαίωσιν. †

† Ἐν ἔτει ,αφϟζ', ἰανουαρίῳ ιθ', ἰνδικτιῶνος ι'. †

† Μελέτιος, ἐλέῳ Θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ κριτὴς τῆς οἰκουμένης, ὁ ἐπιτηρητὴς τοῦ πατριαρχικοῦ θρόνου Κωνσταντινουπόλεως. †

*Archet. chart. Flor. II. nro 38. Exemplaria duo nro 39 et 40. edid. I. Sakkelion in periodico* Εὐαγγελικὸς κῆρυξ *vol. IX (1865), p. 183—189.*

## CXXVI. 7105—1597, die 3 mensis februarii, ind. X.

*Meletius, patriarcha Alexandriae, procurator ecclesiae Constantinopolitanae, hortatur monachos, ut abstineant a factionibus vivantque secundum regulas monasticas.*

† Μελέτιος, ἐλέῳ θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ ἐπιτηρητὴς τοῦ οἰκουμενικοῦ θρόνου. †

† Ὁσιώτατε καθηγούμενε τῆς σεβασμίας βασιλικῆς τε καὶ πατριαρχικῆς μονῆς τῆς ἐν τῇ νήσῳ Πάτμῳ κειμένης καὶ ἐπ' ὀνόματι τιμωμένης τοῦ ἁγίου, ἐνδόξου, πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ, ἐπιστηθίου φίλου, παρθένου, ἠγαπημένου Ἰωάννου τοῦ Θεολόγου, καὶ οἱ ἐν αὐτῇ ὁσιώτατοι ἱερομόναχοι καὶ μοναχοί, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη καὶ ἔλεος ἀπὸ θεοῦ παντοκράτορος. ἔφθασεν εἰς τὰς ἀκοὰς τῆς ἡμῶν μετριότητος, ὅτι τινὲς τῶν ἐνασκουμένων ἐν αὐτῇ ἱερομονάχων καὶ μοναχῶν πράγματα τολμῶσι παράλογα καὶ ταῦτα ἐν τοιαύτῃ μονῇ, ὅπερ οὐ μόνον παρὰ τῶν κανόνων τῶν ἁγίων πατέρων, ἀλλὰ καὶ παρὰ τῶν ἔξω νόμων κεκώλυται· καὶ γὰρ πράττουσιν ἀδεῶς καὶ ἀτάκτως συνωμοσίας ὁμοῦ καὶ φατρίας πρὸς οὐδὲν ἕτερον ἀποβλέποντες εἰ μὴ ὥστε πληρῶσαι τὰ κακὰ θελήματα αὐτῶν, ἃ πρό-

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΘΝΟΥΣ ΕΡΕΥΝΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Δ. Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006